ἀπ' Ἀθηναίου τοῦ Ἀτταλέως ὁμόσε χωροῦσιν οὔτε κατάστασιν ὑγρὰν καὶ θερμὴν μέμφεσθαι λέγοντες οὔθ' εὑρεθῆναί τι νόσημα φάσκοντες ὑγρὸν καὶ θερμόν, ἀλλὰ πάντως ἢ θερμὸν καὶ ξηρὸν ὑπάρχειν ὡς τὸν πυρετόν, ἢ ψυχρὸν καὶ ὑγρὸν ὡς τὸν ὕδερον, ἢ ψυχρὸν καὶ ξηρὸν ὡς τὴν μελαγχολίαν. ἐπιμέμνηνται δ' ἐνταῦθα καὶ τῶν ὡρῶν τοῦ ἔτους, ὑγρὸν μὲν καὶ ψυχρὸν εἶναι τὸν χειμῶνα φάσκοντες, ξηρὸν δὲ καὶ θερμὸν τὸ θέρος καὶ ψυχρὸν καὶ ξηρὸν τὸ φθινόπωρον, εὔκρατον δ' ἅμα καὶ θερμὴν καὶ ὑγρὰν ὥραν εἶναί φασι τὸ ἔαρ. οὕτω δὲ καὶ τῶν ἡλικιῶν τὴν παιδικὴν εὔκρατον θ' ἅμα καὶ θερμὴν καὶ ὑγρὰν εἶναί φασιν. δηλοῦσθαι δὲ τὴν εὐκρασίαν αὐτῆς νομίζουσι κἀκ τῶν ἐνεργειῶν τῆς φύσεως ἐρρωμένων τηνικαῦτα μάλιστα. καὶ μὲν δὴ καὶ τὸν θάνατόν φασιν εἰς ξηρότητα καὶ ψῦξιν ἄγειν τὰ τῶν ζῴων σώματα. καλεῖσθαι γοῦν ἀλίβαντας τοὺς νεκροὺς ὡς ἂν οὐκέτι λιβάδα καὶ ὑγρότητα κεκτημένους οὐδεμίαν, ἐξατμισθέντας θ' ἅμα διὰ | τὴν ἀποχώρησιν τοῦ 523 θερμοῦ καὶ παγέντας ὑπὸ τῆς ψύξεως. ἀλλ' εἴπερ ὁ θάνατος, φασί, τοιοῦτος, ἀναγκαῖον ἤδη τὴν ζωήν, ὡς ἂν ἐναντίαν οὖσαν αὐτῷ, θερμήν τ' εἶναι καὶ ὑγράν· καὶ μὴν εἴπερ ἡ ζωή, φασί, θερμόν τι χρῆμα καὶ ὑγρόν, ἀνάγκη πᾶσα καὶ τὴν ὁμοιοτάτην αὐτῇ κρᾶσιν ἀρίστην ὑπάρχειν· εἰ δὲ τοῦτο, παντί που δῆλον, ὡς εὐκρατοτάτην, ὥστ' εἰς ταὐτὸ συμβαίνειν ὑγρὰν καὶ θερμὴν φύσιν εὐκράτῳ καὶ μηδὲν ἄλλ' εἶναι τὴν εὐκρασίαν ἢ τῆς ὑγρότητός τε καὶ θερμότητος ἐπικρατούσης. οἱ μὲν δὴ τῶν ἀμφὶ τὸν Ἀθήναιον λόγοι τοιοίδε. δοκεῖ δέ πως ἡ αὐτὴ δόξα καὶ Ἀριστοτέλους εἶναι τοῦ φιλοσόφου καὶ Θεοφράστου γε μετ' αὐτὸν καὶ τῶν Στωϊκῶν, ὥστε καὶ τῷ πλήθει τῶν μαρτύρων ἡμᾶς δυσωποῦσιν. ἐγὼ

---

3 δύνασθαι add. ante φάσκοντες L ‖ 4 ἢ post πάντως om. M ‖ 6 ἐντεῦθεν O ‖ 7 ψυχρὸν μὲν καὶ ὑγρὸν M ‖ 10 εἶναί φασι LMV καλοῦσι O ‖ 11 τε ἅμα LMV τε O (om. ἅμα) ‖ ὑγρὰν καὶ θερμὴν L ‖ 16 αὐκέτι LMV μηκέτι O ‖ 17 τε ἅμα LV ἅμα MO ‖ 20 οὖσαν LM ὑπάρχουσαν OV ‖ 21 post ὑγρόν add. ἐστιν OV om. LM ‖ 23 δῆλον παντί που M ‖ εὐκρατοτάτην L[1] εὐκρατοτάτη L[2] ‖ 25 τῆς ante ὑγρότητος om. LO ‖ κρατούσης O ‖ 26 δὴ περὶ τῶν L